book 773.3 πατρός

book 773.4 τε τῇδ’ ἐν ἡμέρᾳ λέχη

book 773 [ln_75][spk_μερ]κρᾶναι θελόντων· ἀλλὰ σῖγ’ ἔστω λεώς. ΜΕΡ. . . . . . . . . . . . . . . . . . . . . εἰ γὰρ εὖ λέγω

book 774.1 ναῦν

book 774.2 τοι μί’ ἄγκυρ’ οὐχ ὁμῶς σῴζειν

book 774.3 φιλεῖ ὡς

book 774.4 τρεῖς ἀφέντι· προστάτης θ’ ἁπλοῦς πόλει

book 774.5 σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πέλει.

book 775.1 ἐλεύθερος δ’ ὢν δοῦλός ἐστι

book 775.2 τοῦ λέχους, πεπραμένον τὸ σῶμα τῆς

book 775.3 φερνῆς ἔχων.

book 776.1 δεινόν γε, τοῖς

book 776.2 πλουτοῦσι

book 776.3 τοῦτο δ’ ἔμφυτον, σκαιοῖσιν εἶναι· τί ποτε

book 776.4 τοῦτο

book 776.5 ταἴτιον; ἆρ’ ὄλβος αὐτοῖς ὅτι

book 776.6 τυφλὸς

book 776.7 συνηρετεῖ, τυφλὰς ἔχουσι τὰς

book 776.8 φρένας καὶ τῆς τύχης;

book 777.1 ὡς

book 777.2 πανταχοῦ γε

book 777.3 πατρὶς ἡ βόσκουσα γῆ.

book 778 εὐδαιμονίζων ὄχλος ἐξέπληξέ με.

book 779.1 ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ’ εἰσβαλών· κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἁψῖδα σὴν κάτω διήσει . . . . . . . ἵει δ’ ἐφ’ ἑπτὰ πλειάδων ἔχων δρόμον ....[ln_5]τοσαῦτ’ ἀκούσας

book 779.2 παῖς ἔμαρψεν ἡνίας· κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων μεθῆκεν, αἳ δ’ ἔπταντ’ ἐπ’ αἰθέρος

book 779.3 πτυχάς. πατὴρ δ’ ὄπισθε νῶτα

book 779.4 σειραίου βεβὼς ἵππευε

book 779.5 παῖδα νουθετῶν· ἐκεῖς’ ἔλα,[ln_10]τῇδε

book 779.6 στρέφ’ ἅρμα, τῇδε.

book 781.1 πυρός τ’ ἐρινὺς ἐν νεκροῖς θερηνυαι ζῶς’ ἤδ’ ἀνίης’ ἀτμὸν ἐμφανῆ . . ἀπωλόμην· οὐκ οἴσετ’ εἰς δόμους ν〈έκυν;〉 νοεῖς; πόσις μοι

book 781.2

πλησίον γαμηλίους[ln_5]μολπὰς ἀυτεῖ παρθένοις ἡγούμενος. οὐ θᾶσσον; οὐ σταλαγμὸν ἐξομόρξετε, εἴ πού τις ἔστιν αἵματος

book 781.3 χαμαὶ πεσών; ἐπείγετ’ εἶα, δμωίδες· κρύψω δέ νιν ξεστοῖσι θαλάμοις, ἔνθ’ ἐμῷ κεῖται πόσει[ln_10]χρυσός· μόνη δὲ κλῇθρ’ ἐγὼ σφραγίζομαι. ὦ καλλιφεγγὲς Ἥλι’, ὥς μ’ ἀπώλεσας καὶ τόνδ’· Ἀπόλλων δ’ ἐν βροτοῖς ὀρθῶς καλῇ, ὅστις τὰ σιγῶντ’ ὀνόματ’ οἶδε δαιμόνων.

book 781.1 [spk_χορ]ΧΟΡ. Ὑμὴν Ὑμήν,[ln_15]τὰν Διὸς οὐρανίαν ἀείδομεν τὰν ἐρώτων πότνιαν, τὰν

book 781.2 παρθένοις γαμήλιον Ἀφροδίταν. πότνια, σοὶ τάδ’ ἐγὼ νυμφεῖ’ ἀείδω, Κύπρι θεῶν καλλίστα, [ln_20]τῷ τε νεόζυγι σῷ πώλῳ, τὸν ἐν αἰθέρι κρύπτεις σῶν γάμων γένναν· ἃ τὸν μέγαν τᾶσδε πόλεως βασιλῆ νυμφεύεται,[ln_25]ἀστερωποῖσιν δόμοισιν

book 781.3 χρυσέων ἀρχόν, φίλον Ἀφροδίτᾳ. ὦ μακάρων βασιλεὺς μείζων ἔτ’ ὄλβον· ὃς θεὰν κηδεύσεις καὶ μόνος ἀθανάτων

book 781.1 [ln_30][spk_μερ]γαμβρὸς δι’ ἀπείρονα γαῖαν θνατὸς ὑμνήσῃ. ΜΕΡ. χώρει σὺ καὶ τάσδ’ εἰς δόμους ἄγων κόρας γυναῖκ’ ἄνωχθι πᾶσι

book 781.2 τοῖς κατὰ στόμα θεοῖς

book 781.3 χορεῦσαι καὶ κυκλώσασθαι δόμους[ln_35]σεμνοῖσιν ὑμεναίοισιν, Ἑστίας θ’ ἕδος, ἀφ’ ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι εὐχὰς

book 781.4 πο 〈εῖσθαι〉 . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

book 781.1 [ln_40][spk_θερ]. . . . . . . . . . . . . . . . . . . . . . . . θεᾶς

book 781.2 προσελθεῖν τέμενος ἐξ ἐμῶν δόμων. ΘΕΡ. ὦ δέσποτ’, ἔστρεψ’ ἐκ δόμων

book 781.3 ταχὺν πόδα. οὗ γὰρ σὺ σῴζῃ σεμνὰ θησαυρίσματα[ln_45]χρυσοῦ, δι’ ἁρμῶν ἐξαμείβεται πύλης καπνοῦ μέλαιν’ ἄησις ἔνδοθεν

book 781.4 στέγης. προσθεὶς

book 781.5 πρόσωπον

book 781.6 φλόγα μὲν οὐχ ὁρῶ πυρός, γέμοντα δ’ οἶκον μέλανος ἔνδοθεν καπνοῦ. ἀλλ’ ἔσιθ’ ἐς οἶκον, μή τιν’ Ἥφαιστος χόλον

book 781.1 [spk_μερ]δόμοις ἐπεισφρεὶς μέλαθρα

book 781.2 συμφλέξῃ πυρὶ ἐν

book 781.3 τοῖσιν ἡδίστοισι

book 781.4 Φαέθοντος γάμοις. ΜΕΡ. πῶς φής; ὅρα μὴ θυμάτων

book 781.5 πυρουμένων κατ’ οἶκον ἀτμὸν κεῖς’ ἀποσταλέντ’ ἴδῃς. ΘΕΡ. ἅπαντα

book 781.6 ταῦτ’ ἠθρησεκανπωτουσεχει[ln_55]ΜΕΡ. οἶδεν δ’ ἐμὴ τάδ’ ἢ οὐκ ἐπίσταται δάμαρ; ΘΕΡ. θυηπολοῦσα θεοῖς ἐκεῖς’ ἔχει

book 781.7 φρένας. ΜΕΡ. ἀλλ’ εἶμ’, ἐπεί τοι καὶ φιλεῖ τὰ τοιάδε ληφθέντα

book 781.8 φαύλως ἐς μέγαν

book 781.9 χειμῶν’ ἄγειν. σὺ δ’ ὡς πάρος δέσποινα Δήμητρος κόρη

book 781.1 [ln_60][spk_χορ]Ἥφαιστέ τ’ ἔστε

book 781.2 πρευμενεῖς δόμοις ἐμοῖς. ΧΟΡ. τάλαιν’ ἐγώ, τάλαινα, ποῖ πόδα

book 781.3 πτερόεντα καταστάσω; ἀν’ αἰθέρ’; ἢ γᾶς ὑπὸ κεῦθος ἄφαντον ἐξαμαυρωθῶ;[ln_65]ἰώ μοί μοι, κακὰ φανήσεται· βασίλεια τάλαινα

book 781.4 παῖς τ’ ἔσω κρυφαῖος νέκυς. ὀτοτοτοῖ, κεραύνιαί τ’ ἐκ Διὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 781.5 πυρίβολοι
book 781.6 πλαγαὶ λέχεά θ’ Ἁλίου.[ln_70]ὦ δυστάλαινα τῶν ἀμετρήτων κακῶν Ὠκεανοῦ κόρα, πατρὸς ἴθι
book 781.7 πρόσπεσε γόνυ 〈λι〉 ταῖς, σφαγὰς
book 781.8 σφαγὰς οἰκτρά τ’ ἀρκέσαι σᾶς δειρᾶς.
book 781.1 [ln_75][spk_μερ]ΜΕΡ. ἰώ μοί μοι. ΧΟΡ. ἠκούσατ’ ἀρχὰς δεσπότου
book 781.2 στεναγμάτων; ΜΕΡ. ἰὼ τέκνον. ΧΟΡ. καλεῖ τὸν οὐ κλύοντα δυστυχῆ γόνον .......των ὁρᾶν
book 781.3 σαφῆ.
book 782 ψυκτήρια δένδρεα φίλαισιν ὠλέναισι λέξεται.
book 783 χρυσέα βῶλος
book 784.1 ἐν
book 784.2 τοῖσι μώροις
book 784.3 τοῦτ’ ἐγὼ κρίνω βροτῶν, ὅστις τῶν
book 784.4 πατέρων
book 784.5 παισὶ μὴ φρονοῦσιν εὖ ἢ καὶ πολίταις
book 784.6 παραδίδωσ’ ἐξουσίαν.
book 785 μισῶ δὲ . . . . . . ἀγκύλον τόξον κρανείας, γυμνάσια δ’ οἰχοίατο.
book 786 φίλος δέ μοι ἄλουτος ἐν φάραγξι σήπεται νέκυς.
book 787.1 πῶς δ’ ἂν
book 787.2 φρονοίην, ᾧ παρῆν ἀπραγμόνως ἐν
book 787.3 τοῖσι
book 787.4 πολλοῖς ἠριθμημένῳ στρατοῦ ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης;
book 788.1 οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ· τοὺς γὰρ
book 788.2 περισσοὺς καί τι
book 788.3 πράσσοντας
book 788.4 πλέον
book 788.5 τιμῶμεν ἄνδρας τ’ ἐν πόλει νομίζομεν.
book 789.1 ὀκνῶν δὲ μόχθων τῶν
book 789.2 πρὶν ἐκχέαι χάριν καὶ τοὺς
book 789.3 παρόντας οὐκ ἀπωθοῦμαι πόνους.
book 790 δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν, ξένε.
book 791.1 ἅλις, ὦ βιοτά· πέραινε, πρίν
book 791.2 τινα
book 791.3 συντυχίαν ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι.
book 792.1 φαγέδαιν’ ἀεί μου σάρκα θοινᾶται
book 792.2 ποδός
book 793 μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει· ἐν γῇ δ’ ὁ φόρτος, καὶ πάλιν ναυτίλλεται.
book 794.1 ὁρᾶτε δ’ ὡς κἀν θεοῖσι κερδαίνειν καλόν, θαυμάζεται δ’ ὁ πλεῖστον ἐν ναοῖς ἔχων
book 794.2 χρυσόν. τί δῆτα καὶ σὲ κωλύει 〈λαβεῖν〉 κέρδος, παρόν γε κἀξομοιοῦσθαι θεοῖς;
book 795.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τί δῆτα θάκοις μαντικοῖς ἐνήμενοι
book 795.2 σαφῶς διόμνυσθ’ εἰδέναι τὰ δαιμόνων; οὐ τῶνδε
book 795.3 χειρώνακτες ἄνθρωποι λόγων· ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,[ln_5]οὐδέν
book 795.4 τι μᾶλλον οἶδεν ἢ πείθειν λέγων.
book 796.1 ὑπέρ γε μέντοι
book 796.2 παντὸς Ἑλλήνων
book 796.3 στρατοῦ αἰσχρὸν
book 796.4 σιωπᾶν, βαρβάρους δ’ ἐᾶν λέγειν.
book 797 λέξω δ’ ἐγώ, κἄν μου διαφθείρας δοκῇ λόγους ὑποστὰς αὐτὸς ἠδικηκέναι· ἀλλ’ ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων, ὃ δ’ αὐτὸς αὑτὸν ἐμφανιεῖ σοι λέγων.
book 798.1 πατρὶς καλῶς
book 798.2 πράσσουσα τὸν
book 798.3 τυχόντ’ ἀεὶ μείζω τίθησι, δυστυχοῦσα δ’ ἀσθενῆ.
book 799.1 ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ’ ἡμῶν ἔφυ, οὕτω
book 799.2 προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον ὅστις
book 799.3 σωφρονεῖν ἐπίσταται.
book 800.1 φεῦ, μήποτ’ εἴην ἄλλο
book 800.2 πλὴν θεοῖς φίλος ὡς πᾶν
book 800.3 τελοῦσι, κἂν βραδύνωσιν
book 800.4 χρόνῳ.
book 801 ἀπέπνευσεν αἰῶνα
book 802 αἱρεῖς
book 803 ἀκριβές
book 804 μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα δίδωσιν ὅστις οὐκέθ’ ὡραῖος γαμεῖ· δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.
book 805.1 ὦ γῆρας, οἷον
book 805.2 τοῖς ἔχουσιν εἶ κακόν.
book 806.1 ἀλλ’ οὔποτ’ αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν
book 806.2 παραινέσαιμ’ ἂν
book 806.3 παισὶ προσθεῖναι κράτη
book 806.4 πρὶν ἂν κατ’ ὄσσων
book 806.5 τυγχάνῃ με καὶ σκότος, εἰ χρὴ διελθεῖν
book 806.6 πρὸς τέκνων νικώμενον.
book 807 πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.
book 808 γυνή τε πάντων ἀγριώτατον κακόν.
book 809.1 . . . . 〈οἱ〉 πεῖραν οὐ δεδωκότες μᾶλλον δοκοῦντες ἢ πεφυκότες
book 809.2 σοφοί
book 810.1 μέγιστον ἀρ’ ἦν ἡ φύσις· τὸ γὰρ κακὸν οὐδεὶς
book 810.2 τρέφων εὖ χρηστὸν ἂν θείη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 810.3 ποτέ.

book 811 τἀφανῆ τεκμηρίοισιν εἰκότως ἁλίσκεται.

book 812.1 ἤδη δὲ πολλῶν ᾑρέθην λόγων κριτὴς καὶ πόλλ᾽ ἁμιλληθέντα μαρτύρων ὕπο τἀναντί᾽ ἔγνων

book 812.2 συμφορᾶς μιᾶς πέρι. κἀγὼ μὲν οὕτω χὤστις ἔστ᾽ ἀνὴρ

book 812.3 σοφὸς[ln_5]λογίζομαι τἀληθές, εἰς ἀνδρὸς φύσιν

book 812.4 σκοπῶν δίαιτάν θ᾽ ἥντιν᾽ ἡμερεύεται ... ὅστις δ᾽ ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ, οὐ πώποτ᾽ ἠρώτησα, γιγνώσκων ὅτι

book 812.5 τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.

book 813.1 ὦ πλοῦθ᾽, ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν, πόνοι δὲ κἀν

book 813.2 σοὶ καὶ φθοραὶ πολλαὶ βίου ἔνεις᾽· ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς.

book 814 φθόνον οὐ σέβω, φθονεῖσθαι δὲ θέλοιμ᾽ ἂν ἐπ᾽ ἐσθλοῖς.

book 815.1 δμωσὶν δ᾽ ἐμοῖσιν εἶπον ὡς

book 815.2 ταυτηρίαις

book 815.3 πυρίδες καὶ διιπετῆ κτεῖναι

book 816.1 καίτοι

book 816.2 ποτ᾽ εἴ τιν᾽ εἰσίδοιμ᾽ ἀνὰ πτόλιν

book 816.3 τυφλὸν

book 816.4 προηγητῆρος ἐξηρτημένον, ἀδημονοῦντα

book 816.5 συμφοραῖς ἐλοιδόρουν, ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων.[ln_5]καὶ νῦν λόγοισι

book 816.6 τοῖς ἐμοῖς ἐναντίως πέπτωχ᾽ ὁ τλήμων· ὦ φιλόζωοι βροτοί, οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν

book 816.7 ποθεῖτ᾽ ἔχοντες μυρίων ἄχθος κακῶν. οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου·[ln_10]τὸ ζῆν γὰρ ἴσμεν, τοῦ θανεῖν δ᾽ ἀπειρίᾳ πᾶς

book 816.8 τις

book 816.9 φοβεῖται φῶς λιπεῖν τόδ᾽ ἡλίου.

book 817.1 σὺ δ᾽, ὦ πατρῴα

book 817.2 χθὼν ἐμῶν γεννητόρων, χαῖρ᾽· ἀνδρὶ γάρ

book 817.3 τοι, κἂν ὑπερβάλλῃ κακοῖς, οὐκ ἔστι

book 817.4 τοῦ θρέψαντος ἥδιον πέδον.

book 818 ἀμνήστευτος γυνή

book 819.1 Σιδώνιόν

book 819.2 ποτ᾽ ἄστυ Κάδμος ἐκλιπών, Ἀγήνορος

book 819.3 παῖς, ἦλθε Θηβαίαν

book 819.4 χθόνα

book 819.5 Φοῖνιξ

book 819.6 πεφυκώς, ἐκ δ᾽ ἀμείβεται γένος Ἑλληνικόν, Διρκαῖον οἰκήσας πέδον.[ln_5]ᾗ δ᾽ ἦλθ᾽ ἀνάγκῃ πεδία

book 819.7 Φοινίκης λιπών, λέγοιμ᾽ ἄν. ἦσαν

book 819.8 τρεῖς Ἀγήνορος κόροι· Κίλιξ, ἀφ᾽ οὗ καὶ Κιλικία κικλήσκεται, Φοῖνίξ 〈θ᾽〉, ὅθεν

book 819.9 περ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 819.10 τοὔνομ’ ἡ χώρα φέρει, καὶ Θάσος

book 821.1 εἰ μὲν τόδ’ ἦμαρ

book 821.2 πρῶτον ἦν κακουμένῳ καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν, εἰκὸς

book 821.3 σφαδᾴζειν ἦν ἂν ὡς νεόζυγα πῶλον

book 821.4 χαλινὸν ἀρτίως δεδεγμένον·[ln_5]νῦν δ’ ἀμβλύς εἰμι καὶ κατηρτυκὼς κακῶν.

book 822.1 γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει ἥδιστόν ἐστι, δώματ’ ἢν οἰκῇ καλῶς, ὀργήν

book 822.2 τε πραΰνουσα καὶ δυσθυμίας

book 822.3 ψυχὴν μεθιστᾶς’· ἡδὺ κἀπάται φίλων.

book 823 δίκαι’ ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί.

book 824.1 ὡς οὐδὲν ὑγιὲς

book 824.2 φασὶ μητρυιὰς

book 824.3 φρονεῖν νόθοισι

book 824.4 παισίν, ὧν

book 824.5 φυλάξομαι ψόγον.

book 825.1 κρείσσων δὲ βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς ἢ δῶμα

book 825.2 πλούτῳ δυσσεβῶς ὠγκωμένον.

book 826.1 δι’ ἐλπίδος ζῇ καὶ δι’ ἐλπίδος

book 826.2 τρέφου.

book 827.1 καὶ μὴν ἀνοῖξαι μὲν

book 827.2 σιροὺς οὐκ ἠξίου

book 828 αἱ γὰρ πόλεις εἴς’ ἄνδρες, οὐκ ἐρημία.

book 829 ἀνὴρ δ’ ὃς εἶναι φής, ἀνδρὸς οὐκ ἄξιον δειλὸν κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον.

book 830.1 λάτρις

book 830.2 πενέστης ἁμὸς ἀρχαίων δόμων

book 831.1 πολλοῖσι δούλοις

book 831.2 τοὔνομ’ αἰσχρόν, ἡ δὲ φρὴν τῶν οὐχὶ δούλων ἐστ’ ἐλευθερωτέρα.

book 832.1 εἰ δ’ εὐσεβὴς ὢν

book 832.2 τοῖσι δυσσεβεστάτοις εἰς

book 832.3 ταὔτ’ ἔπρασσον, πῶς τάδ’ ἂν καλῶς ἔχοι; ἢ Ζεὺς ὁ λῷστος μηδὲν ἔνδικον

book 832.4 φρονεῖ;

book 833.1 τίς δ’ οἶδεν εἰ ζῆν

book 833.2 τοῦθ’ ὃ κέκληται θανεῖν, τὸ ζῆν δὲ θνῄσκειν ἐστί; πλὴν ὅμως βροτῶν νοσοῦσιν οἱ βλέποντες, οἱ δ’ ὀλωλότες οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά.

book 834.1 καὶ γὰρ πέφυκε

book 834.2 τοῦτ’ ἐν ἀνθρώπου φύσει· ἢν καὶ δίκῃ θνῄσκῃ τις, οὐχ ἧσσον

book 834.3 ποθεῖ πᾶς

book 834.4 τις δακρύειν

book 834.5 τοὺς

book 834.6

προσήκοντας φίλους.

book 835.1 ὅστις δὲ θνητῶν οἴεται

book 835.2 τοὐφ’ ἡμέραν κακόν

book 835.3 τι πράσσων

book 835.4 τοὺς θεοὺς λεληθέναι, δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται, ὅταν

book 835.5 σχολὴν ἄγουσα

book 835.6 τυγχάνῃ Δίκη.

book 836.1 πώγωνα

book 836.2 πυρός

book 837 ἰλλάδας

book 839.1 Γαῖα μεγίστη καὶ Διὸς Αἰθήρ, ὃ μὲν ἀνθρώπων καὶ θεῶν γενέτωρ, ἣ δ’ ὑγροβόλους

book 839.2 σταγόνας νοτίας

book 839.3 παραδεξαμένη τίκτει θνητούς,[ln_5]τίκτει βοτάνην φῦλά τε θηρῶν· ὅθεν οὐκ ἀδίκως μήτηρ πάντων νενόμισται. χωρεῖ δ’ ὀπίσω τὰ μὲν ἐκ γαίας φύντ’ εἰς γαῖαν,[ln_10]τὰ δ’ ἀπ’ αἰθερίου βλαστόντα γονῆς εἰς οὐράνιον πάλιν ἦλθε πόλον· θνῄσκει δ’ οὐδὲν τῶν γιγνομένων, διακρινόμενον δ’ ἄλλο

book 839.4 πρὸς ἄλλου μορφὴν ἑτέραν ἀπέδειξεν.

book 840 λέληθεν οὐδὲν τῶνδέ μ’ ὧν σὺ νουθετεῖς, γνώμην δ’ ἔχοντά μ’ ἡ φύσις βιάζεται.

book 841.1 αἰαῖ, τόδ’ ἤδη θεῖον ἀνθρώποις κακόν, ὅταν

book 841.2 τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή,

book 842 γνώμης σόφισμα καὶ χέρ’ ἀνδρείαν ἔχων δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός.

book 843 ὦ δέσποτ’, οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς οὔτ’ εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς.

book 844 εἰάζων

book 845 ἀπρόσειλος

book 846.1 Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος, ξὺν

book 846.2 παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ Ἄργος κατασχών

book 847.1 εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς

book 847.2 χεῖρας μύσος

book 848 γαυριᾶν

book 849 ἀκανθώδη ῥάχιν

book 850.1 ἡ γὰρ

book 850.2 τυραννὶς πάντοθεν

book 850.3 τοξεύεται δεινοῖς ἔρωσιν, ἧς

book 850.4 φυλακτέον πέρι.

book 852.1 ὅστις δὲ τοὺς

book 852.2 τεκόντας ἐν βίῳ σέβει, ὅδ’ ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος· ὅστις δὲ τοὺς φύσαντας μὴ τιμᾶν θέλῃ, μή μοι γένοιτο μήτε

book 852.3 συνθύτης

book 852.4 τοῖς θεοῖς[ln_5]μήτ’ ἐν θαλάσσῃ κοινόπλουν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 852.5 στέλλοι
book 852.6 σκάφος.
book 853.1 τρεῖς εἰσὶν ἀρεταὶ τὰς
book 853.2 χρεών ς’ ἀσκεῖν, τέκνον, θεούς
book 853.3 τε τιμᾶν
book 853.4 τούς
book 853.5 τε φύσαντας γονῆς νόμους
book 853.6 τε κοινοὺς Ἑλλάδος· καὶ ταῦτα δρῶν κάλλιστον ἕξεις
book 853.7 στέφανον εὐκλείας ἀεί.
book 854.1 τὸ μὲν
book 854.2 σφαγῆναι δεινόν, εὔκλειαν δ’ ἔχει· τὸ μὴ θανεῖν δὲ δειλόν, ἡδονὴ δ’ ἔνι.
book 855 ἀναδρομαί
book 856.1 ἀλκυόνες, αἳ παρ’ ἀενάοις θαλάσσας κύμασιν
book 856.2 στωμύλλετε, τέγγουσαι νοτίοις
book 856.3 πτερῶν ῥανίσι
book 856.4 χρόα διανιζόμεναι
book 857.1 ἔλαφον δ’ Ἀχαιῶν
book 857.2 χερσὶν ἐνθήσω φίλαις κεροῦσσαν, ἣν
book 857.3 σφάζοντες αὐχήσουσι σὴν
book 857.4 σφάζειν θυγατέρα
book 858.1 ὦ θερμόβουλον
book 858.2 σπλάγχνον
book 859 διαβάλλω
book 861 δείξας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδὸν δήμους τ’ ἔσῳσα καὶ τύραννος ἵζόμην.
book 862.1 ὁθούνεκα ἐν 〈αὐτὸσ〉 αὑτῷ πάντα
book 862.2 συλλαβὼν ἔχει
book 863 ἥκει δ’ ἐπ’ ὤμοις ἢ συὸς φέρων βάρος ἢ τὴν ἄμορφον λύγκα, δύστοκον δάκος.
book 864 παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.
book 865 φήμη τὸν ἐσθλὸν κἀν μυχοῖς δείκνυσι γῆς.
book 866.1 ἀλλ’ ἥδε μ’ ἐξέσῳσεν, ἥδε μοι
book 866.2 τροφός, μήτηρ, ἀδελφή, δμωίς, ἄγκυρα
book 866.3 στέγης.
book 867.1 ἀλλ’ ἄγχιμος γὰρ ἥδε
book 867.2 Φοιβεία γυνή
book 868.1 θεοὶ χθόνιοι ζοφερὰν ἀδίαυλον ἔχοντες ἕδραν
book 868.2 φθειρομένων Ἀχεροντίαν λίμνην
book 869 ἄδωρος χάρις
book 870 δράκοντος αἱματωπὸν ὄμμα
book 871

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἱματοσταγῆ κηλῖδα τέγγῃ
book 872 ἀκόμπαστος λόγος
book 873 ἀκόμπαστος φάτις
book 874.1 οὔ σοι
book 874.2 παραινῶ μηχανωμένῃ κακὰ ἐχθροῖσι, σαυτῇ προσβαλεῖν ἀλάστορα.
book 875 ὦ Κύπρις, ὡς ἡδεῖα καὶ μοχθηρὸς 〈εἶ〉.
book 876 τρομὸν δράμημα γηραιοῦ ποδός
book 877.1 ἀλλ’ αἰθὴρ τίκτει
book 877.2 σε, κόρα, Ζεὺς ὃς ἀνθρώποις ὀνομάζεται.
book 878.1 τίς ἔσθ’ ὁ μέλλων
book 878.2 σκόλοπος ἢ λευσμοῦ τυχεῖν;
book 879 ὁ λῷστος οὗτος καὶ φιλοξενέστατος
book 880.1 οὐκ ἐν γυναιξὶ τοὺς νεανίας
book 880.2 χρεὼν ἀλλ’ ἐν
book 880.3 σιδήρῳ κἀν ὅπλοις
book 880.4 τιμὰς ἔχειν.
book 882.1 ἅλα
book 882.2 πορφυρέην
book 883 ἀλλ’ αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.
book 884 τηλοῦ γὰρ οἰκῶν βίοτον ἐξιδρυσάμην.
book 885 ἄληθες, ὦ παῖ τῆς θαλασσίας θεοῦ;
book 886.1 μισῶ πολίτην ὅστις ὠφελεῖν πάτραν βραδὺς
book 886.2 φανεῖται, μεγάλα δὲ βλάπτειν
book 886.3 ταχύς, καὶ πόριμον αὑτῷ, τῇ πόλει δ’ ἀμήχανον.
book 887 ὅταν τὰ νῦν ἄπιστα πίσθ’ ἡγώμεθα, τὰ δ’ ὄντα πίστ’ ἄπιστα
book 888 βέβληκ’ Ἀχιλλεὺς δύο κύβω καὶ τέσσαρα
book 889 πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος
book 890.1 λόγων δίκαιον μισθὸν ἂν λόγους φέροις, ἔργον δ’ ἐκεῖνος ἔργον ὃς
book 890.2 παρέσχετο.
book 892.1 ἐπεὶ τί δεῖ βροτοῖσι
book 892.2 πλὴν δυοῖν μόνον, Δήμητρος ἀκτῆς πώματός θ’ ὑδρηχόου, ἅπερ πάρεστι καὶ πέφυχ’ ἡμᾶς
book 892.3 τρέφειν; ὧν οὐκ ἀπαρκεῖ πλησμονή· τρυφῇ δέ τοι[ln_5]ἄλλων ἐδεστῶν μηχανὰς θηρεύομεν.
book 893.1 ἀρκεῖ μετρία βιοτά μοι σώφρονος
book 893.2 τραπέζης, τὸ δ’ ἄκαιρον ἅπαν ὑπερβάλλον
book 893.3 τε μὴ προσείμαν.
book 894 τἀλλότρια .. τὸν καλῶς εὐδαίμονα
book 895.1 ἐν
book 895.2 πλησμονῇ τοι Κύπρις, ἐν
book 895.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεινῶντι δ’ οὔ.

book 896.1 Βακχίου

book 896.2 φιλανθέμου Αἴθοπα

book 896.3 πεπαίνοντ’ ὀρχάτους ὀπωρινούς, ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.

book 897.1 παίδευμα δ’ Ἔρως

book 897.2 σοφίας ἀρετῆς

book 897.3 πλεῖστον ὑπάρχει, καὶ προσομιλεῖν οὗτος ὁ δαίμων πάντων ἥδιστος ἔφυ θνητοῖς·[ln_5]καὶ γὰρ ἄλυπον τέρψιν

book 897.4 τιν’ ἔχων εἰς ἐλπίδ’ ἄγει. τοῖς δ’ ἀτελέστοις τῶν

book 897.5 τοῦδε πόνων μήτε

book 897.6 συνείην

book 897.7 χωρίς τ’ ἀγρίων ναίοιμι

book 897.8 τρόπων. τὸ δ’ ἐρᾶν

book 897.9 προλέγω

book 897.10 τοῖσι νέοισιν[ln_10]μήποτε

book 897.11 φεύγειν, χρῆσθαι δ’ ὀρθῶς, ὅταν ἔλθῃ.

book 898.1 τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός; ἣν οὐδ’ ἂν εἴποις οὐδὲ μετρήσειας ἂν ὅση πέφυκε κἀφ’ ὅσον διέρχεται. αὕτη

book 898.2 τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.[ln_5]τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς, ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ. ἐρᾷ μὲν ὄμβρου γαῖ’, ὅταν ξηρὸν πέδον ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ· ἐρᾷ δ’ ὁ σεμνὸς οὐρανὸς

book 898.3 πληρούμενος[ln_10]ὄμβρου

book 898.4 πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο· ὅταν δὲ συμμιχθῆτον ἐς

book 898.5 ταὐτὸν δύο, φύουσιν ἡμῖν πάντα καὶ τρέφους’ ἅμα,

book 898 δι’ ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος.

book 899.1 εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος Ἀντήνορός

book 899.2 τε τοῦ Φρυγὸς δοίη θεός, οὐκ ἂν δυναίμην μὴ στέγοντα

book 899.3 πιμπλάναι, σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.

book 900 ὤφειλε δῆθεν, εἴπερ ἔστ’ ἐν οὐρανῷ Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι.

book 901.1 πολλάκι μοι

book 901.2 πραπίδων διῆλθε

book 901.3 φροντίς, εἴτε τύχα 〈τισ〉 εἴτε δαίμων τὰ βρότεια κραίνει, παρά τ’ ἐλπίδα καὶ παρὰ δίκαν

book 901.4 τοὺς μὲν ἀπ’ οἴκων δ’ ἐναπίπτοντας[ln_5]ἀτὰρ θεοῦ, τοὺς δ’ εὐτυχοῦντας ἄγει.

book 902 τὸν ἐσθλὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήποτ’ ὄσσοις εἰσίδω, κρίνω φίλον.

book 903 ἄφρων ἂν εἴην, εἰ τρέφοιν τὰ τῶν πέλας.

book 904 ἀλλ’ ἄκρας εὐηθίας ἅπτοιτ’ ἂν ὅστις τὴν φύσιν νικᾶν θέλει.

book 905 μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός.

book 906 ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον.

book 907.1 κρέασι βοείοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 907.2 χλωρὰ σῦκ’ ἐπήσθιεν ἄμους’ ὑλακτῶν ὥστε βαρβάρῳ μαθεῖν.

book 908.1 τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς. ἔπειτα

book 908.2 παῖδας σὺν

book 908.3 πικραῖς ἀλγηδόσιν τίκτω; τεκοῦσα δ’ ἢν μὲν ἄφρονας τέκω, στένω ματαίως, εἰσορῶσα 〈μὲν〉 κακούς, χρηστοὺς δ’ ἀπολλῦς’· ἢν δὲ καὶ σεσωσμένους, τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ. τί τοῦτο δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν

book 908.4 ψυχὴν ἀλύειν κἀπὶ τῇδ’ ἔχειν πόνους;

book 909.1 οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον, ἁρετὴ δ’ ὤνησε

book 909.2 πολλάς πᾶσα γὰρ ἀγαθὴ γυνὴ ἥτις ἀνδρὶ συντέτηκε

book 909.3 σωφρονεῖν ἐπίσταται. πρῶτα μέν γε

book 909.4 τοῦθ’ ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις, χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ· οὐ γὰρ ὀφθαλμὸς τὸ κρίνειν .. ἐστὶν ἀλλὰ νοῦς. εὖ λέγειν δ’, ὅταν

book 909.5 τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ, κἀκπονεῖν ἂν τῷ ξυνόντι

book 909.6 πρὸς χάριν μέλλῃ τελεῖν. ἡδὺ δ’, ἢν κακὸν πάθῃ τι, συσκυθρωπάζειν πόσει ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ’ ἔχειν μέρος ... σοὶ δ’ ἔγωγε καὶ νοσοῦντι

book 909.7 συννοσοῦς’ ἀνέξομαι καὶ κακῶν τῶν σῶν ξυνοίσω, κοὐδὲν ἔσται μοι

book 909.8 πικρόν.

book 910.1 ὄλβιος ὅστις τῆς ἱστορίας ἔσχε μάθησιν, μήτε

book 910.2 πολιτῶν ἐπὶ πημοσύνην μήτ’ εἰς ἀδίκους

book 910.3 πράξεις ὁρμῶν, ἀλλ’ ἀθανάτου καθορῶν φύσεως κόσμον ἀγήρων, πῇ τε

book 910.4 συνέστη καὶ ὅπῃ καὶ ὅπως. τοῖς δὲ τοιούτοις οὐδέποτ’ αἰσχρῶν ἔργων μελέδημα

book 910.5 προσίζει.

book 911.1 χρύσεαι δή μοι

book 911.2 πτέρυγες

book 911.3 περὶ νώτῳ καὶ τὰ σειρήνων

book 911.4 πτερόεντα πέδιλα [ἁρμόζεται], βάσομαί τ’ εἰς αἰθέριον πόλον ἀρθεὶς Ζηνὶ προσμείξων

book 912.1 σοὶ τῷ πάντων μεδέοντι

book 912.2 χοὴν πέλανόν

book 912.3 τε φέρω, Ζεὺς εἴτ’ Ἀίδης ὀνομαζόμενος

book 912.4 στέργεις· σὺ δέ μοι θυσίαν ἄπυρον

book 912.5 παγκαρπείας δέξαι

book 912.6 πλήρη

book 912.7 προχυθεῖσαν. σὺ γὰρ ἔν

book 912.8 τε θεοῖς

book 912.9 τοῖς οὐρανίδαις

book 912.10 σκῆπτρον τὸ Διὸς μεταχειρίζεις

book 912.11 χθονίων θ’ Ἅιδῃ μετέχεις ἀρχῆς. πέμψον δ’ ἐς φῶς

book 912.12 ψυχὰς ἐνέρων τοῖς βουλομένοις ἄθλους

book 912.13

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προμαθεῖν πόθεν ἔβλαστον, τίς ῥίζα κακῶν, τίνα δεῖ μακάρων ἐκθυσαμένους εὑρεῖν μόχθων ἀνάπαυλαν.

book 913.1 τίς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ, μετεωρολόγων δ’ ἑκὰς ἔρριψεν

book 913.2 σκολιὰς ἀπάτας; ὧν ἀτηρὰ γλῶσσ’ εἰκοβολεῖ περὶ τῶν ἀφανῶν[ln_5]οὐδὲν γνώμης μετέχουσα.

book 914.1 κακὸν γυναῖκα

book 914.2 πρὸς νέον ζεῦξαι νέαν· ὃ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν, ἣ δ’ ἐνδεὴς

book 914.3 τοῦδ’ οὖσα βουλεύει κακά.

book 915 νικᾷ δὲ χρεία μ’ ἡ κακῶς τ’ ὀλουμένη γαστήρ, ἀφ’ ἧς δὴ πάντα γίγνεται κακά.

book 916.1 ὦ πολύμοχθος βιοτὴ θνητοῖς, ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι, καὶ τὰ μὲν αὔξεις, τὰ δ’ ἀποφθινύθεις· κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς[ln_5]εἰς ὅντινα

book 916.2 χρὴ κέλσαι θνητοῖς, πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν θανάτου

book 916.3 πεμφθεῖσα

book 916.4 τελευτή.

book 917.1 ὅσοι δ’ ἰατρεύειν καλῶς, πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν τὴν γῆν ἰδόντας τὰς νόσους

book 917.2 σκοπεῖν

book 917.3 χρεών.

book 918.1 πρὸς

book 918.2 ταῦθ’ ὅτι

book 918.3 χρὴ καὶ παλαμάσθων καὶ πᾶν ἐπ’ ἐμοὶ τεκταινέσθων· τὸ γὰρ εὖ μετ’ ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἔσται,[ln_5]κοὐ μή ποθ’ ἁλῶ κακὰ πράσσων.

book 919.1 κορυφὴ δὲ θεῶν ὁ πέριξ

book 919.2 χθόν’ ἔχων

book 919.3 φαεννὸς αἰθήρ

book 920 ἡ φύσις ἐβούλεθ’, ᾗ νόμων οὐδὲν μέλει.

book 921.1 ἀωρὶ πόντου κύματ’ εὐρέος

book 921.2 περᾷ ... σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν

book 922.1 τίς

book 922.2 τοὐμὸν ὄνομα

book 922.3 τοὐπονείδιστον βροτοῖς οὐκ οἶδε Λαμίας τῆς Λιβυστικῆς γένος;

book 923.1 οὐκ ἐγγυῶμαι, ζημίαν

book 923.2 φιλεγγύων

book 923.3 σκοπῶν· τὰ Πυθοῖ δ’ οὐκ ἐᾷ με γράμματα.

book 924.1 μή μοι λεπτῶν θίγγανε μύθων, ψυχή· τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις

book 924.2 σεμνύνεσθαι

book 924.3 παρ’ ὁμοίοις.

book 926 γλώσσῃ διαψαίρουσα μυκτήρων πόρους

book 927 ἔνδον γυναικῶν καὶ παρ’ οἰκέταις λόγος

book 928.1 οὐ γὰρ ἀσφαλὲς

book 928.2 περαιτέρω τὸ κάλλος ἢ μέσον λαβεῖν.

book 929 ἑῷος ἡνίχ’ ἱππότης ἐξέλαμψεν ἀστήρ

book 930 οἴμοι, δράκων μου γίγνεται τὸ ἥμισυ· τέκνον, περιπλάκηθι τῷ λοιπῷ πατρί.

book 931 λωτίνας ἀηδόνας

book 932 Αἰγυπτία ἐμπολή

book 933.1 βάσκανον μέγιστον

book 933.2 ψυχαγωγόν

book 934.1 νοῦν ἔχοντος 〈ἦν ἄρα〉 φίλον

book 934.2 πρίασθαι

book 934.3 χρημάτων

book 934.4 πολλῶν

book 934.5 σαφῆ.

book 935.1 ἀλλ’ ὦ φίλιπποι

book 935.2 Τρῶες

book 936 οὔκ· ἀλλ’ ἔτ’ ἔμπνουν Ἀίδης μ’ ἐδέξατο.

book 937 μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.

book 938 νῦν οὖν ἕκατι ῥημάτων κτενεῖτέ με;

book 939.1 ὦ παγκάκιστα

book 939.2 χθόνια γῆς

book 939.3 παιδεύματα

book 940.1 τί δ’ ἔστι; πρὸς

book 940.2 χορὸν γὰρ οἰκείων ἐρεῖς.

book 941 ὁρᾷς τὸν ὑψοῦ τόνδ’ ἄπειρον αἰθέρα καὶ γῆν πέριξ ἔχονθ’ ὑγραῖς ἐν ἀγκάλαις; τοῦτον νόμιζε Ζῆνα, τόνδ’ ἡγοῦ θεόν.

book 943 πυριγενὴς δὲ δράκων ὁδὸν ἡγεῖται [ταῖς] τετραμόρφοις ὥραις ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα.

book 944 καὶ Γαῖα μῆτερ· Ἑστίαν δέ ς’ οἱ σοφοὶ βροτῶν καλοῦσιν ἡμένην ἐν αἰθέρι.

book 945.1 ἀεί τι καινὸν ἡμέρα

book 945.2 παιδεύεται.

book 946.1 εὖ ἴσθ’, ὅταν

book 946.2 τις εὐσεβῶν θύῃ θεοῖς, κἂν μικρὰ θύῃ, τυγχάνει

book 946.3 σωτηρίας.

book 947 ἦ πολλὰ καὶ δύσγνωστα βουλεύει θεός.

book 948 θεοὺς ἀρέσκου· πᾶν γὰρ ἐκ θεῶν τέλος.

book 949.1 καὶ τοῖς

book 949.2 τεκοῦσιν ἀξίαν

book 949.3 τιμὴν νέμειν

book 950.1 ὡς ἡδὺ πατέρα

book 950.2 παισὶν ἤπιον κυρεῖν καὶ παῖδας εἶναι

book 950.3 πατρὶ μὴ στυγουμένους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 951.1 ἣν οἱ τεκόντες

book 951.2 τοῦτο γιγνώσκως' ὅτι νέοι

book 951.3 ποτ' ἦσαν, ἠπίως τὴν τῶν τέκνων οἴσουσι κύπριν, φύντες οὐ σκαιοὶ φύσιν.

book 952.1 ὅστις

book 952.2 πατὴρ

book 952.3 πρὸς

book 952.4 παῖδας ἐκβαίνει

book 952.5 πικρός, τὸ γῆρας οὗτος ἑρματίζεται βαρύ.

book 953.1 ὦ πάτερ, ἐχρῆν μὲν οὓς ἐγὼ λόγους λέγω, τούτους λέγειν

book 953.2 σε· καὶ γὰρ ἁρμόζει

book 953.3 φρονεῖν σὲ μᾶλλον ἢ ἐμὲ καὶ λέγειν ὅπου

book 953.4 τι δεῖ· ἐπεὶ δ' ἀφῆκας, λοιπόν ἐστ' ἴσως ἐμὲἐκ τῆς ἀνάγκης τά γε δίκαι' αὐτὴν λέγειν. ἐκεῖνος εἰ μὲν μεῖζον ἠδίκηκέ τι, οὐκ ἐμὲ προσήκει λαμβάνειν

book 953.5 τούτων δίκην· ἃ δ' εἰς ἔμ' ἡμάρτηκεν αἰσθέσθαι με δεῖ. ἀλλ' ἀγνοῶ δὴ τυχὸν ἴσως ἄφρων ἐγὼοὖς', οὐκ ἂν ἀντείποιμι· καίτοι γ', ὦ πάτερ, εἰ τἄλλα κρίνειν ἐστὶν ἀνόητον γυνή, περὶ τῶν γ' ἑαυτῆς

book 953.6 πραγμάτων ἴσως

book 953.7 φρονεῖ .... ἔστω δ' ὃ βούλει· τοῦτο τί μ' ἀδικεῖ, λέγε. ἔστ' ἀνδρὶ καὶ γυναικὶ κείμενος νόμος,

book 953.1 τῷ μὲν διὰ τέλους ἣν ἔχει

book 953.2 στέργειν ἀεί, τῇ δ' ὅς' ἂν ἀρέσκῃ τἀνδρὶ ταῦτ' αὐτὴν

book 953.3 ποεῖν. γέγονεν ἐκεῖνος εἰς ἔμ' οἷον ἠξίουν, ἐμοί τ' ἀρέσκει πάνθ' ἃ κἀκείνῳ, πάτερ. ἀλλ' ἔστ' ἐμοὶ μὲν

book 953.4 χρηστός, ἠπόρηκε δέ.σὺ δ' ἀνδρί μ', ὡς φής, ἐκδίδως νῦν

book 953.5 πλουσίῳ, ἵνα μὴ καταζῶ τὸν βίον λυπουμένη. καὶ ποῦ τοσαῦτα

book 953.6 χρήματ' ἐστίν, ὦ πάτερ, ἃ μᾶλλον ἀνδρὸς εὐφρανεῖ παρόντα με; ἢ πῶς δίκαιόν ἐστιν ἢ καλῶς ἔχοντῶν μὲν ἀγαθῶν με τὸ μέρος ὧν εἶχεν λαβεῖν, τοῦ συναπορηθῆναι δὲ μὴ λαβεῖν μέρος; φέρ' ἢν ὁ νῦν 〈δὴ〉 λαμβάνειν μέλλων μ' ἀνήρ, ὃ μὴ γένοιτο, Ζεῦ φίλ', οὐδ' ἔσται

book 953.7 ποτέ, οὐκ οὖν θελούσης οὐδὲ δυναμένης ἐμοῦ,

book 953.1 ἢν οὗτος αὖθις ἀποβάλῃ τὴν οὐσίαν, ἑτέρῳ με δώσεις ἀνδρί; κᾆτ' ἐὰν πάλιν ἐκεῖνος, ἑτέρῳ; μέχρι πόσου τὴν τῆς τύχης, πάτερ, σὺ λήψῃ πεῖραν ἐν τὠμῷ βίῳ; ὅτ' ἦν ἐγὼ παῖς, τότε

book 953.2 σε χρῆν ζητεῖν ἐμοὶἄνδρ' ᾧ με δώσεις· σὴ γὰρ ἦν τόθ' αἵρεσις· ἐπεὶ δ' ἅπαξ δέδωκας, ἤδη ἐστίν, πάτερ, ἐμὸν

book 953.3 σκοπεῖν

book 953.4 τοῦτ', εἰκότως· μὴ γὰρ καλῶς κρίνας' ἐμαυτῆς τὸν ἴδιον βλάψω βίον. ταῦτ' ἔστιν· ὥστε μή με, πρὸς τῆς ἑστίας,

book 953.1 ἀποστερήσῃς ἀνδρὸς ᾧ συνῴκισας· χάριν δικαίαν καὶ φιλάνθρωπον, πάτερ, αἰτῶ σε

book 953.2 ταύτην. εἰ δὲ μή, σὺ μὲν βίᾳ πράξεις ἃ βούλει· τὴν δ' ἐμὴν ἐγὼ τύχην

book 953.3 πειράσομ' ὡς δεῖ μὴ μετ' αἰσχύνης φέρειν.

book 955 Δήμητρος λάτριν

book 956.1 εὔξῃ τοιοῦτον ἄνδρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 956.2 σοι

book 956.3 παρεστάναι.

book 957.1 μικρὸν

book 957.2 φρονεῖν

book 957.3 χρὴ τὸν κακῶς

book 957.4 πεπραγότα.

book 958.1 τίς δ’ ἔστι δοῦλος

book 958.2 τοῦ θανεῖν ἄφροντις ὤν;

book 959.1 ἐγὼ δ’ οὐδὲν

book 959.2 πρεσβύτερον νομίζω τᾶς

book 959.3 σωφροσύνας, ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστιν.

book 960 τιμᾶν τὰν τέτασθε, πλούτῳ δ’ ἀρετὰν κατεργάσασθαι δοκεῖτ’, ἐν ἐσθλοῖς δὲ καθήσεσθ’ ἄνολβοι.

book 961 φεῦ, τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

book 962 .. ἄλλ’ ἐπ’ ἄλλῃ φάρμακον κεῖται νόσῳ· λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων, ἄγαν δὲ μωραίνοντι νουθετήματα.

book 963.1 μηδ’ εὐτύχημα μηδὲν ὧδ’ ἔστω μέγα, ὅ ς’ ἐξεπαρεῖ μεῖζον ἢ χρεὼν

book 963.2 φρονεῖν, μηδ’ ἤν

book 963.3 τι συμβῇ δυσχερές, δουλοῦ πάλιν· ἀλλ’ αὑτὸς αἰεὶ μίμνε τὴν

book 963.4 σαυτοῦ φύσιν[ln_5]σῴζων βεβαίως ὥστε

book 963.5 χρυσὸς ἐν

book 963.6 πυρί.

book 964.1 ἐγὼ δὲ 〈ταῦτα〉 παρὰ σοφοῦ τινος μαθὼν εἰς

book 964.2 φροντίδας νοῦν

book 964.3 συμφοράς τ’ ἐβαλλόμην, φυγάς τ’ ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς θανάτους τ’ ἀώρους καὶ κακῶν ἄλλας ὁδούς,[ln_5]ἵν’ εἴ τι πάσχοιμ’ ὧν ἐδόξαζον

book 964.4 φρενί, μή μοι νεῶρες

book 964.5 προσπεσὸν μᾶλλον δάκοι.

book 965.1 ὅστις δ’ ἀνάγκῃ συγκεχώρηκεν βροτῶν, σοφὸς

book 965.2 παρ’ ἡμῖν καὶ τὰ θεῖ’ ἐπίσταται.

book 966 βίος γὰρ ὄνομ’ ἔχει πόνος γεγώς.

book 967 εἴης μοι, μέτριος δέ πως εἴης μηδ’ ἀπολείποις.

book 968.1 Ἑκάτης ἄγαλμα

book 968.2 φωσφόρου κύων ἔσῃ.

book 969.1 οὐ βούλομαι

book 969.2 πλουτοῦντι δωρεῖσθαι πένης, μή μ’ ἄφρονα κρίνῃς ἢ διδοὺς αἰτεῖν δοκῶ.

book 970 ἀλλ’ ἀνοιστέος λόγος

book 971 ὃ δ’ ἄρτι θάλλων σάρκα διοπετὴς ὅπως ἀστὴρ ἀπέσβη, πνεῦμ’ ἀφεὶς ἐς αἰθέρα.

book 972.1 πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων

book 972.2 σφάλλουσιν ἡμᾶς κρείσσονες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 972.3 πεφυκότες.

book 973 μάντις δ’ ἄριστος ὅστις εἰκάζει καλῶς.

book 974 τῶν ἄγαν γὰρ ἅπτεται θεός, τὰ μικρὰ δ’ εἰς τύχην ἀφεὶς ἐᾷ.

book 975 χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.

book 976 ἀκόλασθ’ ὁμιλεῖν γίγνεται δούλων τέκνα.

book 977.1 ἡ γὰρ

book 977.2 σιωπὴ τοῖς

book 977.3 σοφοῖσιν ἀπόκρισις.

book 978.1 εἰ δ’ ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι, οὐδεὶς ἂν αὑτὸν εὖ λέγειν ἐβούλετο· νῦν δ’, ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος λαβεῖν ἀμοχθί, πᾶς

book 978.2 τις ἥδεται λέγων[ln_5]τά τ’ ὄντα καὶ μή· ζημίαν γὰρ οὐκ ἔχει.

book 979.1 οὔτοι

book 979.2 προσελθοῦς’ ἡ Δίκη

book 979.3 σε, μὴ τρέσῃς, παίσει

book 979.4 πρὸς ἧπαρ οὐδὲ τῶν ἄλλων βροτῶν τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα μάρψει

book 979.5 τοὺς κακούς, ὅταν τύχῃ.

book 980.1 τὰ τῶν

book 980.2 τεκόντων

book 980.3 σφάλματ’ εἰς

book 980.4 τοὺς ἐκγόνους οἱ θεοὶ τρέπουσιν.

book 981.1 εἰ δὲ πάρεργον

book 981.2 χρή τι κομπάσαι, γύναι, οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον, ἵν’ οὔτ’ ἄγαν πῦρ οὔτε

book 981.3 χεῖμα

book 981.4 συμπίτνει· ἃ δ’ Ἑλλὰς Ἀσία τ’ ἐκτρέφει κάλλιστα, γῆν[ln_5]δέλεαρ ἔχοντες 〈τήνδε〉 συνθηρεύομεν.

book 982.1 πολλοὺς δὲ βροντῆς

book 982.2 πνεῦμ’ ἄναιμον ὤλεσεν.

book 983.1 οἶνος

book 983.2 περάσας

book 983.3 πλευμόνων διαρροάς

book 984 ἄλλην θέλουσιν εἰσαγώγιμον λαβεῖν

book 985 ὁ πετόμενος ἱερὸν ἀνὰ Διὸς αἰθέρα γοργοφόνος

book 986.1 πλούτῳ χλιδῶσα θνητὰ δὴ γύναι

book 986.2 φρόνει.

book 987.1 εἴθ’ ἦν ἄφωνον

book 987.2 σπέρμα δυστήνων βροτῶν.

book 988 τέκτων γὰρ ὢν ἔπρασσες οὐ ξυλουργικά.

book 989.1 ὁ τῆς τύχης

book 989.2 παῖς κλῆρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 990 φίλης τ’ ὀπώρας διπτύχους ἦρός τ’ ἴσους
book 991 ἀλλ’ ἔστι, κεἴ τις ἐγγελᾷ λόγῳ, Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη.
book 992 ἀμφίπολος Ἄρεος ἀνιέρου
book 993 φίλων λαβεῖν 〈γὰρ〉 πεῖραν οὐ σμικρὸν κακόν.
book 994 εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλόν, εἰς ἀρετὴν καταλυσαμένους βίον.
book 995.1 πολλοῖσι
book 995.2 πολλήν, δὶς τόσοις δὲ πλείονα
book 996.1 σύμμικτον εἶδος κἀποφώλιον
book 996.2 τρέφος
book 997 ταύρου μεμῖχθαι καὶ βροτοῦ διπλῇ φύσει
book 998 αἰεὶ πρασίμοχθοι κοὔποθ’ ἥσυχοι δορί
book 999 ἀγήρων ἀρετήν
book 1000.1 Ζεὺς
book 1000.2 συγγένειος
book 1001.1 .. λίνου κλωστῆρα
book 1001.2 περιφέρει λαβών
book 1002.1 κορμοῖσι
book 1002.2 πεύκης
book 1003.1 λῦε
book 1003.2 πηκτὰ δωμάτων
book 1005 ἐγὼ δ’ ἐμός εἰμι
book 1006.1 οὐχ ἑσπέρας φάς’, ἀλλὰ καὶ μεσημβρίας
book 1006.2 τούτους ἀφεστήκασιν ἡμέραν
book 1006.3 τρίτην.
book 1007 λευκοὺς λίθους χέοντες αὐχοῦσιν μέγα.
book 1008.1 〈τί φής;〉 τί σιγᾷς; μῶν φόνον
book 1008.2 τιν’ εἰργάσω;
book 1009.1 γλαυκῶπίς
book 1009.2 τε στρέφεται μήνη
book 1010 ἤπειρον εἰς ἄπειρον ἐκβάλλων πόδα
book 1011 τί χρέος ἔβα δῶμα;
book 1012 ἀεί ποτ’ 〈ἐστὶ〉 σπέρμα κηρύκων λάλον.
book 1013 τὸ μὲν τέθνηκε σῶμα, τοῦτο δ’ ἀναβλέπει.
book 1014 πόλεως μὲν ἀρχῷ, φωτὶ δ’ οὐκ ἔτη πρέπων
book 1015.1 αἰεὶ δὲ μήτηρ
book 1015.2 φιλότεκνος μᾶλλον
book 1015.3 πατρός· ἡ μὲν γὰρ αὑτῆς οἶδεν ὄνθ’, ὃ δ’ οἴεται.
book 1017 τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
book 1018

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.

book 1019.1 δούλοισι γάρ

book 1019.2 τε ζῶμεν οἱ ἐλεύθεροι.

book 1020 ὃ δ’ ἐσφάδᾳζεν οὐκ ἔχων ἀπαλλαγάς.

book 1023 Αἰθέρα καὶ Γαῖαν πάντων γενέτειραν ἀείδω.

book 1024.1 φθείρουσιν ἤδη

book 1024.2 χρήσθ’ ὁμιλίαι κακαί.

book 1025.1 θεοῦ γὰρ οὐδεὶς

book 1025.2 χωρὶς εὐτυχεῖ βροτῶν οὐδ’ εἰς τὸ μεῖζον ἦλθε· τὰς θνητῶν δ’ ἐγὼ χαίρειν κελεύω θεῶν ἄτερ

book 1025.3 προθυμίας.

book 1026 τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.

book 1027.1 παῖς ὢν

book 1027.2 φυλάσσου

book 1027.3 πραγμάτων αἰσχρῶν ἄπο· ὡς ἣν

book 1027.4 τραφῇ τις μὴ κακῶς, αἰσχύνεται ἀνὴρ γενόμενος αἰσχρὰ δρᾶν· νέος δ’ ὅταν πόλλ’ ἐξαμάρτῃ, τὴν ἁμαρτίαν ἔχει[ln_5]εἰς γῆρας αὑτοῦ τοῖς

book 1027.5 τρόποισιν ἔμφυτον.

book 1028.1 ὅστις νέος ὢν μουσῶν ἀμελεῖ, τόν

book 1028.2 τε παρελθόντ’ ἀπόλωλε

book 1028.3 χρόνον καὶ τὸν μέλλοντα τέθνηκεν.

book 1029.1 οὐκ ἔστιν ἀρετῆς κτῆμα

book 1029.2 τιμιώτερον· οὐ γὰρ πέφυκε δοῦλον οὔτε

book 1029.3 χρημάτων οὔτ’ εὐγενείας οὔτε θωπείας ὄχλου. ἀρετὴ δ’ ὅσῳ περ μᾶλλον ἂν

book 1029.4 χρῆσθαι θέλῃς,[ln_5]τοσῷδε μείζων αὔξεται

book 1029.5 τελουμένη.

book 1030 ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.

book 1031.1 τὸ μὴ εἰδέναι

book 1031.2 σε μηδὲν ὧν ἁμαρτάνεις, ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.

book 1032.1 τὸ δ’ ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν

book 1032.2 φρενῶν εἰς

book 1032.3 συμφορὰν καθῆκε

book 1032.4 πολλὰ δὴ βροτούς.

book 1033.1 εὖ γὰρ τόδ’ ἴσθι, κεἴ ς’ ἐλάνθανεν πάρος, τὸ σκαιὸν εἶναι

book 1033.2 πρῶτ’ ἀμουσίαν ἔχει.

book 1034.1 φεῦ φεῦ, τὸ νικᾶν τἄνδιχ’ ὡς καλὸν γέρας, τὰ μὴ δίκαια δ’ ὡς ἁπανταχοῦ κακόν· καὶ γλῶσσα

book 1034.2 φλαύρα καὶ φθόνος

book 1034.3 τοῦ μὴ φθονεῖν ὅσῳ κάκιον μὴ καλῶς ὠγκωμένοις.

book 1035.1 δύστηνος ὅστις τὰ καλὰ καὶ ψευδῆ λέγων οὐ τοῖσδε

book 1035.2 χρῆται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1035.3 τοῖς καλοῖς ἀληθέσιν.

book 1036.1 πότερα θέλεις

book 1036.2 σοι μαλθακὰ ψευδῆ λέγω ἢ σκλήρ’ ἀληθῆ; φράζε· σὴ γὰρ ἡ κρίσις.

book 1037.1 ἀτὰρ

book 1037.2 σιωπᾶν τά γε δίκαι’ οὐ χρή ποτε.

book 1038.1 ὀργαὶ γὰρ ἀνθρώποισι

book 1038.2 συμφορᾶς ὕπο δειναί, πλάνος

book 1038.3 τε καρδίᾳ προσίσταται.

book 1039 ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.

book 1040.1 ἐὰν ἴδῃς

book 1040.2 πρὸς ὕψος ἠρμένον

book 1040.3 τινὰ λαμπρῷ τε

book 1040.4 πλούτῳ καὶ γένει γαυρούμενον ὀφρύν

book 1040.5 τε μείζω τῆς τύχης ἐπηρκότα, τούτου

book 1040.6 ταχεῖαν νέμεσιν εὐθὺς

book 1040.7 προσδόκα.

book 1041.1 κρινεῖ τίς αὑτὸν πώποτ’ ἀνθρώπων μέγαν, ὃν ἐξαλείφει

book 1041.2 πρόφασις ἡ τυχοῦς’ ὅλον;

book 1042.1 ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν

book 1042.2 σοφοί, αὐτοὶ δ’ ἁμαρτάνοντες οὐ γιγνώσκομεν.

book 1043 οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.

book 1044.1 οὔτ’ ἐκ

book 1044.2 χερὸς μεθέντα καρτερὸν λίθον ῥᾷον κατασχεῖν οὔτ’ ἀπὸ γλώσσης λόγον.

book 1045.1 μὴ κάμνε

book 1045.2 πατρίδα σὴν λαβεῖν

book 1045.3 πειρώμενος.

book 1046.1 πολλοῦ γὰρ

book 1046.2 χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα σώφρονι ναίειν. τὸ δὲ σύντροφον ἁδύ τι θνητοῖς ἐν βίῳ χωρεῖ.

book 1047 ἅπας μὲν ἀὴρ αἰετῷ περάσιμος, ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.

book 1048.1 οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον· χρῆν γὰρ τύχας μὲν τὰς μάτην

book 1048.2 πλανωμένας μηδὲν δύνασθαι, τἀμφανῆ δ’ ὑψήλ’ ἄγειν. ὅστις κατ’ ἰσχὺν

book 1048.3 πρῶτος ὢν ἠτάζετο[ln_5]ἢ τόξα πάλλων ἢ μάχῃ δορὸς

book 1048.4 σθένων, τοῦτον

book 1048.5 τυραννεῖν τῶν κακιόνων ἐχρῆν.

book 1049.1 ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ βωμὸν

book 1049.2 προσίζει, τὸν νόμον

book 1049.3 χαίρειν ἐῶν

book 1049.4

πρὸς τὴν δίκην ἄγοιμ’ ἂν οὐ τρέσας θεούς· κακὸν γὰρ ἄνδρα

book 1049.5 χρὴ κακῶς πάσχειν ἀεί.

book 1050.1 ἀλλ’ οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ, οὐδ’ ἄνδρα

book 1050.2 χρηστὸν νεῖκος αἵρεσθαι κακοῖς· τιμὴ γὰρ αὕτη

book 1050.3 τοῖσιν ἀσθενεστέροις.

book 1051.1 σὺν

book 1051.2 τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς.

book 1052.1 νεανίας γὰρ ὅστις ὢν Ἄρη

book 1052.2 στυγῇ, κόμη μόνον καὶ σάρκες, ἔργα δ’ οὐδαμοῦ. ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος ὅ τ’ ὄλβος ἔξωθέν τίς ἐστι

book 1052.3 πραγμάτων·[ln_5]ἀλλ’ οὐκ ἔνεστι

book 1052.4 στέφανος οὐδ’ εὐανδρία, εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα· οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν, ἡ δ’ εὐλάβεια

book 1052.5 σκότον ἔχει καθ’ Ἑλλάδα, τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

book 1053.1 μισῶ δ’ ὅταν

book 1053.2 τις καὶ χθονὸς

book 1053.3 στρατηλάτης μὴ πᾶσι πάντων

book 1053.4 προσφέρῃ μειλίγματα.

book 1054.1 ἔρωτα δεινὸν ἔχομεν· ἐκ δ’ ἐμῶν λόγων ἑλοῦ τὰ βέλτισθ’· ὡς ἄπιστόν ἐστ’ ἔρως κἀν τῷ κακίστῳ τῶν

book 1054.2 φρενῶν οἰκεῖν

book 1054.3 φιλεῖ.

book 1055 οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ ἐσθλὴ παραζευχθεῖσα καὶ σῴζει δόμους.

book 1056.1 οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις οὔτ’ εὐτυχοῦσι· συμφορὰ δ’ ὃς ἂν τύχῃ κακῆς γυναικός, εὐτυχεῖ δ’ ἐσθλῆς

book 1056.2 τυχών

book 1057 μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν ἐσθλῆς γυναικός, δυστυχεῖ δ’ ὁ μὴ λαβών.

book 1058.1 ἐγὼ γὰρ ἔξω λέκτρα αὐτοῖς καλῶς ἔχειν δίκαιόν ἐστιν οἷσι

book 1058.2 συγγηράσομαι.

book 1059.1 δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων, δειναὶ δὲ ποταμῶν καὶ πυρὸς θερμοῦ πνοαί, δεινὸν δὲ πενία, δεινὰ δ’ ἄλλα μυρία, ἀλλ’ οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν·[ln_5]οὐδ’ ἂν γένοιτο γράμμα

book 1059.2 τοιοῦτον γραφῇ οὐδ’ ἂν λόγος δείξειεν. εἰ δέ του θεῶν τόδ’ ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής.

book 1060.1 ἐχθροῖσιν εἴη

book 1060.2 πολεμίαν δάμαρτ’ ἔχειν.

book 1061.1 μοχθοῦμεν ἄλλως θῆλυ

book 1061.2 φρουροῦντες γένος· ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος, τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν

book 1061.3 πλέον;

book 1062.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυναικὶ δ’ ὄλβος, ἢν πόσιν
book 1062.2 στέργοντ’ ἔχῃ.
book 1063.1 δεῖ πυνθάνεσθαι γάρ
book 1063.2 σε νῷν χἠμᾶς σέθεν. τὸ μὲν μέγιστον, οὔποτ’ ἄνδρα
book 1063.3 χρὴ σοφὸν λίαν
book 1063.4 φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων· ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς·[ln_5]ἐν δ’ ἀφθόνοισι
book 1063.5 τοῖσδ’ ἀναστρωφωμένη βλέπουσά τ’ εἰς πᾶν καὶ παροῦσα
book 1063.6 πανταχοῦ τὴν ὄψιν ἐμπλήσας’ ἀπήλλακται κακῶν· τό τ’ ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον. ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων[ln_10]σῴζει δάμαρτα, δρᾶν
book 1063.7 τι δὴ δοκῶν
book 1063.8 σοφὸν μάταιός ἐστι καὶ φρονῶν οὐδὲν
book 1063.9 φρονεῖ· ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ’ ἔχει, θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χαρίζεται, λάθοι δ’ ἂν Ἄργου τὰς
book 1063.10 πυκνοφθάλμους κόρας·
book 1063.1 [ln_15]καὶ πρὸς κακοῖσι
book 1063.2 τοῦτο δὴ μέγας γέλως, ἁνήρ τ’ ἀχρεῖος χἠ γυνὴ διοίχεται.
book 1064.1 ἀλλ’ ἴσθ’, ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος, τὸ μὴ οὐ σὲ μῆτερ
book 1064.2 προσφιλῆ νέμειν ἀεὶ καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν. στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν[ln_5]μάλισθ’· ὁρίζω
book 1064.3 τοῦτο, καὶ σὺ μὴ φθόνει· κείνου γὰρ ἐξέβλαστον· οὐδ’ ἂν εἷς ἀνὴρ γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.
book 1065.1 καὶ τῶν
book 1065.2 παλαιῶν πόλλ’ ἔπη καλῶς ἔχει· λόγοι γὰρ ἐσθλοὶ φάρμακον φόβου βροτοῖς.
book 1066 ἧ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα, ἡ δ’ εὐγένεια καὶ τὸ γενναῖον μένει.
book 1067.1 τὸν σὸν δὲ παῖδα
book 1067.2 σωφρονοῦντ’ ἐπίσταμαι
book 1067.3 χρηστοῖς θ’ ὁμιλοῦντ’ εὐσεβεῖν τ’ ἠσκηκότα. πῶς οὖν ἂν ἐκ
book 1067.4 τοιοῦδε σώματος κακὸς γένοιτ’ ἄν; οὐδεὶς
book 1067.5 τοῦτό μ’ ἂν πίθοι
book 1067.6 ποτέ.
book 1068.1 οὐ γάρ
book 1068.2 τις οὕτω
book 1068.3 παῖδας εὖ παιδεύσεται, ὥστ’ ἐκ
book 1068.4 πονηρῶν μὴ οὐ κακοὺς
book 1068.5 πεφυκέναι.
book 1069.1 [spk_〈α.〉]〈A.〉 χρυσοῦ σὲ πλήθει, τούσδε δ’ οὐ χαίρειν
book 1069.2 χρεών; 〈B.〉 σκαιὸν τὸ πλουτεῖν κἄλλο μηδὲν εἰδέναι.
book 1070.1 ὅστις δὲ λύπας
book 1070.2 φησὶ πημαίνειν βροτούς, δεῖν δ’ ἀγχονῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1070.3 τε καὶ πετρῶν ῥίπτειν ἄπο, οὐκ ἐν
book 1070.4 σοφοῖσιν ἔστιν, εὐχέσθω δ’ ὅμως ἄπειρος εἶναι τῆς νόσου
book 1070.5 ταύτης ἀεί.
book 1071 λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.
book 1072.1 μέλλων τ’ ἰατρὸς τῇ νόσῳ διδοὺς
book 1072.2 χρόνον ἰάσατ’ ἤδη μᾶλλον ἢ τεμὼν
book 1072.3 χρόα.
book 1073.1 οὐ χρή ποτ’ ὀρθαῖς ἐν τύχαις βεβηκότα ἕξειν τὸν αὐτὸν δαίμον’ εἰς ἀεὶ δοκεῖν· ὁ γὰρ θεός
book 1073.2 πως, εἰ θεόν
book 1073.3 σφε
book 1073.4 χρὴ καλεῖν, κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.[ln_5]θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ’ ὑπέρφρονες καὶ τῷ παρόντι
book 1073.5 τοὐπιὸν
book 1073.6 πιστούμενοι ἔλεγχον ἔλαβον τῆς τύχης ἐν τῷ παθεῖν.
book 1074 βέβαια δ’ οὐδεὶς εὐτυχεῖ θνητὸς γεγώς.
book 1075 θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει· 〈ἢ〉 θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν;
book 1076.1 πάντων ἄριστον μὴ βιάζεσθαι θεούς, στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ’ ἔρως
book 1076.2 πολλοὺς ἔθηκε
book 1076.3 τοῦ παρόντος ἀμπλακεῖν.
book 1077.1 πέπονθας οἷα χἄτεροι
book 1077.2 πολλοὶ βροτῶν· τὰς γὰρ
book 1077.3 παρούσας οὐχὶ σῴζοντες τύχας ὤλοντ’ ἐρῶντες μειζόνων ἀβουλίᾳ.
book 1078.1 ἀνδρῶν τάδ’ ἐστὶν ἐνδίκων
book 1078.2 τε καὶ σοφῶν, κἀν
book 1078.3 τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.
book 1079.1 οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου
book 1079.2 παραίνεσις· ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ μέθῃ ταράσσει καὶ γαληνίζει
book 1079.3 φρένα,[ln_5]παραυτίχ’ ἡσθεὶς ὕστερον
book 1079.4 στένει διπλᾶ.
book 1080.1 ὦ γῆρας, οἵαν ἐλπίδ’ ἡδονῆς ἔχεις, καὶ πᾶς
book 1080.2 τις εἰς σὲ βούλετ’ ἀνθρώπων μολεῖν· λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει, ὡς οὐδὲν ἔστι
book 1080.3 χεῖρον ἐν θνητῷ γένει.
book 1081.1 τύμβῳ γὰρ οὐδεὶς
book 1081.2 πιστὸς ἀνθρώπων φίλος.
book 1082.1 Ζεὺς γὰρ κακὸν μὲν
book 1082.2 Τρωσί, πῆμα δ’ Ἑλλάδι θέλων γενέσθαι
book 1082.3 ταῦτ’ ἐβούλευσεν
book 1082.4 πατήρ.
book 1083.1

πολὺν μὲν ἄροτον, ἐκπονεῖν δ’ οὐ ῥᾴδιον· κοίλη γὰρ ὄρεσι

book 1083.2 περίδρομος

book 1083.3 τραχεῖά τε δυσείσβολός

book 1083.4 τε πολεμίοις . . . . . . . . . καλλίκαρπον . . .[ln_5]κατάρρυτόν

book 1083.5 τε μυρίοισι νάμασιν καὶ βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην, οὔτ’ ἐν

book 1083.6 πνοαῖσι

book 1083.7 χείματος δυσχείμερον οὔτ’ αὖ τεθρίπποις ἡλίου θερμὴν ἄγαν[ln_8]. . . . . . . . . . . . γαίας Λακαίνης κύριον

book 1083.8 φαύλου

book 1083.9 χθονός[ln_9]. . . . . . . . . . . .

book 1083.1 [ln_10]ἀρετὴν ἐχούσης μείζον’ ἢ λόγῳ φράσαι[ln_10]. . . . . . . . . . . . Παμισὸν εἰς θάλασσαν ἐξορμώμενον[ln_11]. . . . . . . . . . . . πρόσω .. ναυτίλοισιν . . . . . πρόσω δὲ βάντι

book 1083.2 ποταμὸν Ἦλις ἡ Διὸς γείτων κάθηται.

book 1084.1 ἥκω

book 1084.2 περίκλυστον

book 1084.3 προλιποῦσ’ Ἀκροκόρινθον, ἱερὸν ὄχθον, πόλιν Ἀφροδίτας.

book 1085 τὰς διωνομασμένας ναίειν Κελαινὰς ἐσχάτοις Ἴδης τόποις

book 1086 ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων

book 1087 εὐφημία γὰρ εὐκολώτατος πόνων.

book 1088 ἀρχαῖον εἴρηκας ..

book 1089.1 σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ, πολλὰς

book 1089.2 προφάσεις δίδωσιν εἰς

book 1089.3 σωτηρίαν.

book 1090 ἀνέχου πάσχων· δρῶν γὰρ ἔχαιρες.

book 1091 νόμου τὸν ἐχθρὸν δρᾶν, ὅπου λάβῃς, κακῶς

book 1092 ἐχθροὺς κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος.

book 1095 αἱμύλη

book 1096 ἀμβλυωπός

book 1097 ἀπάγου

book 1098 ἀρκεσίγυιος

book 1099 ἐμβριμώμενος

book 1100 εὐπαιδευσία

book 1101 θυστάς

book 1102 Ξάνθιος

book 1103 ξενοφόνον

book 1104 ἐπροξένει

book 1105 ῥαχίζειν

book 1106 χνοῦν

book 1107.1 ἄρχεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1107.2 χρεὼν κακοὺς ὑπ’ ἐσθλῶν καὶ κλύειν τῶν κρεισσόνων.

book 1108 νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος

book 1109.1 ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος

book 1109.2 Παλλάς, τί δρῶμεν; οὐκ ἐχρῆν ἡμᾶς ἔτι μέλλειν Ἀχαιῶν ὠφελεῖν

book 1109.3 στρατεύματα. νῦν γὰρ κακῶς

book 1109.4 πράσσουσιν ἐν μάχῃ δορὸς λόγχῃ βιαίως Ἕκτορος

book 1109.5 στροβούμενοι. ἐμοὶ γὰρ οὐδὲν ἔστιν ἀλγέων ἄκος, ἐξ οὗ γ’ ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν κάλλει

book 1109.6 προήκειν τῆς ἐμῆς εὐμορφίας καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν, εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν

book 1109.7 Πριάμου βίᾳ πρόρριζον ἐκτετριμμένην.

book 1110 Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος καὶ τέλος αὐτὸς ἔχει.

book 1111.1 κρίμνη

book 1111.2 σεαυτὴν ἐκ μέσης ἀντηρίδος

book 1112.1 ἔδει γὰρ ἡμᾶς

book 1112.2 τοῖς θεοῖς θύειν, ὅταν γυναῖκα κατορύττῃ τις, οὐχ ὅταν γαμῇ.

book 1113.1 ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν

book 1113.2 πατρίς.

book 1114 ἀγοραῖος νοῦς

book 1115 ἡδονὴ πανταχοῦ ἐστι καὶ πάντα δι’ ἡδονῆς γίνεται.

book 1117 κακᾶν βίων διαγωγήν

book 1123 ἀλίαστον

book 1124 ἀλλήλων

book 1125 ἔρρ’ ἰών

book 1126 κρυπταί

book 1127 περιδῦσαι

book 1129 θεὸν δὲ ποῖον, εἰπέ μοι, νοητέον; τὸν πάνθ’ ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον.

book 1130.1 ποῖος δ’ ἂν οἶκος

book 1130.2 τεκτόνων

book 1130.3 πλασθεὶς ὕπο δέμας τὸ θεῖον

book 1130.4 περιβάλοι

book 1130.5 τοίχων

book 1130.6 πτυχαῖς;

book 1131.1 ὁρᾶθ’ ὅσοι νομίζετ’ οὐκ εἶναι θεόν, δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως; ἔστιν γὰρ ἔστιν. εἰ δέ τις

book 1131.2 πράσσει καλῶς κακὸς

book 1131.3 πεφυκώς, τὸν

book 1131.4 χρόνον κερδαινέτω· χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην.

book 1132.1 [spk_ερμης]ΕΡΜΗΣ. Δόμοι μὲν οἵδ’ εὔπυργά τ’ ἐρύματα

book 1132.2 χθονὸς οὐκ ἐν
book 1132.3 πολυχρύσοισιν ἤσκηται
book 1132.4 χλιδαῖς· ἀρχὴν δὲ τῶνδε καὶ θεῶν ἱδρύματα Ἀκρίσιος εἴληχεν, τύραννος τῆσδε γῆς· Ἕλλησι δ’ Ἄργος ἡ πόλις κικλήσκεται. οὗτος δ’ ἔρωτι
book 1132.5 παιδὸς ἄρσενος
book 1132.6 σχεθεὶς
book 1132.7 Πυθώδ’ ἀφῖκτο, καὶ λέγει
book 1132.8 Φοίβῳ τάδε· πῶς ἂν γένοιτο
book 1132.9 σπέρμα
book 1132.10 παιδὸς ἐν δόμῳ, τίνος θεῶν βροτῶν
book 1132.11 τε πρευμενοῦς
book 1132.12 τυχών; κεῖνος δὲ δυσξύμβλητον ἐξήνεγκ’ ὄπα· ἔσται μὲν ἔσται
book 1132.13 παιδὸς ἄρσενος τόκος οὐκ ἐξ ἐκείνου· πρῶτα γὰρ θῆλυν
book 1132.14 σπορὰν φῦσαι δεήσει. κᾆτά πως κείνη
book 1132.15 ποτὲ εὐνὴν κρυφαίαν γνοῦσα καὶ μὴ γνοῦσα δὴ
book 1132.1 ὑπόπτερον λέοντα τέξεται
book 1132.2 πατρί, ὃς τῆσδέ τ’ ἄρξει χἀτέρας
book 1132.3 πολλῆς
book 1132.4 χθονός. τοιαῦτ’ ἀκούσας Λοξίου μαντεύματα γάμων ἀπείχεθ’· ὅμως δέ γε τίκτει λαθών, πρὸς
book 1132.5 τοῦ παρόντος ἱμέρου νικώμενος. Δανάην δέ πως ὠνόμασε τήνδ’, ὁθούνεκα
book 1132.6 πολὺς
book 1132.7 παρῆλθεν εἰς γονὴν
book 1132.8 παίδων
book 1132.9 χρόνος. ἐν
book 1132.10 παρθενῶσι δ’ εὐθὺς οἷς ἐδείματο δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις, εἰς ἀνδρὸς ὄψιν εὐλαβούμενος μολεῖν.
book 1132.1 εἶθ’ ὡς ὁ μακρὸς ηὔξανεν
book 1132.2 ταύτην
book 1132.3 χρόνος, καὶ κάλλος εἶχεν ἔξοχον καθ’ ‘Ελλάδα, φίλτροις ἀφύκτοις Ζεὺς κατασχεθεὶς
book 1132.4 πατὴρ εὐνῇ συνελθεῖν λάθρᾳ πως ἠβούλετο. σαφῶς δὲ πείθειν οὐκ ἔχων, εἰς μηχανὴν τοιάνδ’ ἐχώρης’, ὡς ἄπυρος
book 1132.5 χρυσὸς γεγώς, ποθεινὸν εἰδὼς κτῆμα
book 1132.6 τοῦτο
book 1132.7 τοῖς βροτοῖς, διὰ στέγους ῥεύσειεν ἐν
book 1132.8 χερσὶν κόρης. ἣ δ’ ἀγνοοῦσα τὸν κεκρυμμένον δόλον κόλποισι τὸν θεὸν εἰσρέοντ’ ἐδέξατο.
book 1132.1 χρόνῳ δ’ ἑαυτὴν ὡς κατεῖδ’ ἐγκύμονα, εἰς θαῦμ’ ἐσήει κἀξεπέπληκτο
book 1132.2 σφοδρῶς, ὡς εἰς τόδ’ ἦλθε μέμψιν εὐλαβουμένη. φυγῇ δὲ λάθρᾳ τῆσδε γῆς ὁρμωμένην μαθὼν
book 1132.3 πατήρ νιν, ἐγκατάκλειστον δόμοις ἔργει
book 1132.4 χολωθεὶς καὶ σκότῳ κρύψας ἔχει, τἀληθὲς ὄψει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσκοπούμενος μαθεῖν· κἂν
ταῦτ’ ἀληθῆ καὶ σαφῶς ἔχοντ’ ἴδῃ, ἔγνωκεν ἄμφω
ποντίους ἀφιέναι, τὴν
παῖδα καὶ τὸ τεχθέν. ὧν δέ γ’ ἐστάλην,
[ln_45][spk_χορος]μύθους Δανάῃ τούσδ’ εὐπροσηγόρους ἄγων ἐκ Διός, ἀφίξομαι τάχιστα
σημανῶν. ὑπηρέτην γὰρ ὄντα τἀπεσταλμένα
πράσσειν
προθύμως, ὅστις ἄν γ’ ᾖ νουνεχής. ΧΟΡΟΣ. τίς ὁ καινοτρόπος οὗτος μῦθος κατ’ ἐμὰν ἧκεν ἀκουάν; ἔνθ’ ἀσπερχὲς μενεαίνουσα
τοῖσδε δώμασι κοιράνου ἀμφίδοξος
πελάζω. τίς δεσπότιν ἐμὴν Δανάην βάξις ἔχει κατὰ πτόλιν;[ln_55]ἣν μήποτ’ ὤφελ’ εἰς ὦτα φέρειν ὁ πρῶτος τάδε
φράσαι
τολμήσας, ὡς ἐγκύμων εἴληπται
χρανθεῖς’ ἄλεκτρος ἀνδρός· πατὴρ δέ μιν κλῄσας ἐν
παρθενῶσι
σφραγῖσι δέμας
φυλάσσει.
[ln_60][spk_ακρισιος]ταῦτ’ ἐτήτυμα μαθεῖν θέλω. ἀλλ’ εἰσορῶ γὰρ τῆσδε κοίρανον
χθονὸς Ἀργείας Ἀκρίσιον
πρὸ δόμων
στείχοντα. ὀργῇ βαρύς, ὡς δόξαι, κέαρ. ΑΚΡΙΣΙΟΣ. σὺ δ’ εἰ κατ’ οἴκους εὐνοῶν ἐτύγχανες, [ln_65]οὐκ ἄν
ποτ’ ἦλθες εἰς τόδε θράσους ..